δὲ ὁ κύριος ᾖ μετ᾽ αὐτοῦ, οὐκ ἀποτείσει· ἐὰν δὲ μισθωτὸς ᾖ,
ἔσται αὐτῷ ἀντὶ τοῦ μισθοῦ αὐτοῦ.
15 [15]Ἐὰν δὲ ἀπατήσῃ τις παρθένον ἀμνήστευτον καὶ κοιμηθῇ μετ᾽
16 αὐτῆς, φερνῇ φερνιεῖ αὐτὴν αὐτῷ γυναῖκα. [16]ἐὰν δὲ ἀνανεύων
ἀνανεύσῃ καὶ μὴ βούληται ὁ πατὴρ αὐτῆς δοῦναι αὐτὴν αὐτῷ
γυναῖκα, ἀργύριον ἀποτείσει τῷ πατρὶ καθ᾽ ὅσον ἐστὶν ἡ φερνὴ
17 18 τῶν παρθένων. — [17]φαρμακοὺς οὐ περιποιήσετε. — [18]πᾶν κοιμώ-
19 μενον μετὰ κτήνους, θανάτῳ ἀποκτενεῖτε αὐτούς. — [19]ὁ θυσιάζων
θεοῖς θανάτῳ ὀλεθρευθήσεται πλὴν κυρίῳ μόνῳ.
20 [20]Καὶ προσήλυτον οὐ κακώσετε οὐδὲ μὴ θλίψητε αὐτόν· ἦτε
21 γὰρ προσήλυτοι ἐν γῇ Αἰγύπτῳ. — [21]πᾶσαν χήραν καὶ ὀρφανὸν
22 οὐ κακώσετε· [22]ἐὰν δὲ κακίᾳ κακώσητε αὐτοὺς καὶ κεκράξαντες
23 καταβοήσωσι πρός με, ἀκοῇ εἰσακούσομαι τῆς φωνῆς αὐτῶν [23]καὶ
ὀργισθήσομαι θυμῷ καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ
24 γυναῖκες ὑμῶν χῆραι καὶ τὰ παιδία ὑμῶν ὀρφανά. — [24]ἐὰν δὲ
ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ τῷ πενιχρῷ παρὰ σοί, οὐκ ἔσῃ
25 αὐτὸν κατεπείγων, οὐκ ἐπιθήσεις αὐτῷ τόκον. [25]ἐὰν δὲ ἐνεχύρα-
σμα ἐνεχυράσῃς τὸ ἱμάτιον τοῦ πλησίον, πρὸ δυσμῶν ἡλίου ἀπο-
26 δώσεις αὐτῷ· [26]ἔστιν γὰρ τοῦτο περιβόλαιον αὐτοῦ, μόνον τοῦτο
τὸ ἱμάτιον ἀσχημοσύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν
27 καταβοήσῃ πρός με, εἰσακούσομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι. — [27]θε-
οὺς οὐ κακολογήσεις καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς. —
28 [28]ἀπαρχὰς ἅλωνος καὶ ληνοῦ σου οὐ καθυστερήσεις· τὰ πρωτό-
29 τοκα τῶν υἱῶν σου δώσεις ἐμοί. [29]οὕτως ποιήσεις τὸν μόσχον
σου καὶ τὸ πρόβατόν σου καὶ τὸ ὑποζύγιόν σου· ἑπτὰ ἡμέρας
ἔσται ὑπὸ τὴν μητέρα, τῇ δὲ ὀγδόῃ ἡμέρᾳ ἀποδώσεις μοι αὐτό.
30 — [30]καὶ ἄνδρες ἅγιοι ἔσεσθέ μοι. καὶ κρέας θηριάλωτον οὐκ
ἔδεσθε, τῷ κυνὶ ἀπορρίψατε αὐτό.
23 [1]Οὐ παραδέξῃ ἀκοὴν ματαίαν. οὐ συγκαταθήσῃ μετὰ τοῦ ἀδίκου
2 γενέσθαι μάρτυς ἄδικος. [2]οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίᾳ. οὐ
προστεθήσῃ μετὰ πλήθους ἐκκλῖναι μετὰ πλειόνων ὥστε ἐκκλῖναι
3 4 κρίσιν. [3]καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει. — [4]ἐὰν δὲ συναντή-
σῃς τῷ βοὶ τοῦ ἐχθροῦ σου ἢ τῷ ὑποζυγίῳ αὐτοῦ πλανωμένοις,
5 ἀποστρέψας ἀποδώσεις αὐτῷ. [5]ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ
ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτό,
6 ἀλλὰ συνεγερεῖς αὐτὸ μετ᾽ αὐτοῦ. — [6]οὐ διαστρέψεις κρίμα

14 η / μετ αυτου] tr. A || 16 τω πατρι] αυτω A || 17 περιβιωσετε A || 18 αυτους > A || 19 θεοις] + ετεροις A | εξολεθρευθησεται A || 20 ουδε] ουτε A: cf. 23 9 || 24 αδελφω] λαω A* || 27 αρχοντα A | ουκ ερεις κακως A || 29 μητερα] + αυτου A *O*(sub ※)† | ογδοη ημερα] ημ. τη ογδ. A | αποδωσεις M] -σῃ B†, απο > A† || 30 αποριψετε A

23 2 επι] εν B*† | προσθηση B* | εκκλιναι ult.] -κλεισαι B† || 5 συνεγερεις] συναρεις B*†, συν > A†